8. *Εἶπον οὖν κάλλιστα τὸν Εὔστροφον τῷ ἀριθμῷ
λύειν τὴν ἀπορίαν. ‘ἐπεὶ γάρ’ ἔφην ‘εἰς τὸ ἄρτιον νενεμη-
μένου παντὸς ἀριθμοῦ καὶ τὸ περιττὸν | ἡ μὲν μονὰς* 388
*ἀμφοτέρων ἐπίκοινός ἐστι τῇ δυνάμει (διὸ καὶ προστι-
θεμένη τὸν μὲν περιττὸν ἀριθμὸν ἄρτιον ποιεῖ τὸν δ’ ἄρτιον
περιττόν), ἀρχὴν δὲ τοῦ μὲν ἀρτίου τὰ δύο τοῦ δὲ περιττοῦ
τὰ τρία ποιοῦνται, τὰ δὲ πέντε γεννᾶται τούτων πρὸς
ἀλλήλους μιγνυμένων, εἰκότως ἔσχηκε τιμὴν ⟨ὁ⟩ πρῶτος
ἐκ πρώτων ἀποτελούμενος καὶ γάμος ἐπωνόμασται τῇ
τοῦ ἀρτίου πρὸς τὸ θῆλυ περιττοῦ δ’ αὖ πρὸς τὸ ἄρρεν
ὁμοιότητι· ταῖς γὰρ εἰς ἴσα τομαῖς τῶν ἀριθμῶν ὁ μὲν
ἄρτιος πάντῃ διιστάμενος ὑπολείπει τινὰ δεκτικὴν ἀρχὴν
οἷον ἐν ἑαυτῷ καὶ χώραν, ἐν δὲ τῷ περιττῷ τὸ αὐτὸ
παθόντι μέσον ἀεὶ περίεστι τῆς νεμήσεως μόριον· ᾗ καὶ* B
*γονιμώτερός ἐστι τοῦ ἑτέρου καὶ μιγνύμενος ἀεὶ κρατεῖ
κρατεῖται δ’ οὐδέποτε· γίγνεται γὰρ ἐξ ἀμφοῖν κατ’
οὐδεμίαν μῖξιν ἄρτιος ἀλλὰ κατὰ πάσας περιττός. ἔτι δὲ
μᾶλλον αὐτὸς ἐπιβάλλων αὑτῷ καὶ συντιθέμενος δείκνυσι
τὴν διαφορὰν ἑκάτερος· ἄρτιος μὲν γὰρ οὐδεὶς ἀρτίῳ
συνελθὼν περισσὸν παρέσχεν οὐδ’ ἐξέβη τὸ οἰκεῖον ὑπ’
ἀσθενείας ἄγονος ὢν ἑτέρου καὶ ἀτελής· περισσοὶ δὲ
μιγνύμενοι περισσοῖς ἀρτίους πολλοὺς διὰ τὸ πάντῃ γόνι-
μον ἀποτελοῦσι. τὰς δ’ ἄλλας οὐκ ἄν τις ἐν καιρῷ νῦν
ἐπεξίοι δυνάμεις καὶ διαφορὰς τῶν ἀριθμῶν. ὡς οὖν* C
*ἄρρενός τε τοῦ πρώτου καὶ θήλεος ὁμιλίᾳ τὰ πέντε γιγνό-*